UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

Isidorus <Pelusiota>

Parisiis, 1585

Asclepio Episcopo. 207.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

καὶ μήτε τὸν ἀδίκως νενικηκότα ἐπαινέσῃς, μήτε τὸν ἀδικηθέντα ἐκ τῆς ἥττης ψέξειας, ἀλλὰ μηδὲ τὴν εὐημερίαν ἀρετὴν, μηδὲ τὴν δυσπραγίαν κακίαν ὁρίζοιο. εἰ μὲν γὰρ ἀναγκαίως ἐπείγετο τὸ τρόπαιον, ὁ τολμῶν μὲν, μὴ κατορθῶν δὲ, ἐδέχετο ἂν αἰτίαν. εἰ δὲ τὸν αὐτὸν εὕροις ἂν γνώμῃ ἀρίστῃ χρώμενον, τέλει δὲ οὐ χρηστῷ, μὴ καταμέμφου τοῦτον, ᾧ συνάχθεσθαι δίκαιον. ἀλλὰ ταῦτα μὲν πρὸς σὲ εἴρηται, τὸν πλέον τῶν ὁρωμένων εἰδότα μηδέν. ἡμεῖς γὰρ οἱ τοῖς τῆς πίστεως ὀφθαλμοῖς τὸν μέλλοντα ἀκριβῶς καθορῶντες βίον, τῶν μὲν πολέμων καὶ τῶν τροπαίων καὶ τῶν ἀναρρήσεων τῶν ἡμετέρων, ἅτε τῷ παρόντι συγκαταλυομένων βίῳ, εἰκότως καταφρονοῦμεν. ἐκεῖνον δὲ πολεμοῦμεν τὸν πόλεμον, τὸν κατὰ τῶν πονηρῶν δαιμόνων καὶ τῶν τῆς σαρκὸς παθῶν συγκροτούμενον, καὶ τὸν τούτων ἀκοιμήτῳ τέχνῃ κρατοῦντα, τροπαιοῦχον εἶναι φαμὲν, κἂν ἀκλεῶς δοκοίη τόνδε ἐξεληλυθέναι τὸν βίον. ἡ γὰρ ἐνταῦθα ἀδοξία, δόξαν ἀθάνατον ὠδίνει· καὶ ἡ ἑκούσιος πενία, πλοῦτον οὐράνιον τίκτει. τότε γὰρ φανεῖται τὰ ἀγαθὰ, ὅτε τελευτήσει τὰ λυπηρά.

facienda erant prætermiſerunt, etiamſi alioqui nihil eorum, quæ inſtituerant, confecerint: Si autẽ in ſui capitis perniciem plerunque victoriam adepti ſunt. Quamobrem tu quoque conſultiùs & humaniùs feceris, ſi confuſionem minimè inducas, verũ hæc inter ſe diſiungas, atque vtrumque ſeorſim perpẽdas & explores, hoc eſt, & voluntatem & euentum: ac ne eum, qui improbè & ſceleratè vicit, collaudes, nec eum, cui iniuria illata eſt, ob cladẽ acceptã inſecteris: verùm nec felicitatem virtutẽ, nec aduerſitatem vitiũ eſſe ſtatuas. Nam ſi neceſſariò palma properaret, is qui, quod aggreditur, minimè cõficit, culpam ſubiret. Cùm autem eundem hominẽ, & optima ſententia inſtitutóque animi, nec tamẽ læto fine vti comperias, eum, cuius calamitate commoueri par eſt, accuſari deſine. Atque hæc mihi ad te, qui præter ea, quæ in aſpectum cadunt, nihil ſcis, dicta ſunt. Nam nos, qui futuram vitam fidei oculis liquidè conſpicimus, & bella & trophęa, & laudes ac prædicationes veſtras, vt quæ vnà cum præſenti vita extinguantur, meritò contemnimus. In eo autem bello verſamur, quod aduerſus improbos dæmones, & carnis vitia geritur: eúmque, qui peruigili arte ipſos ſuperat, victorem eſſe aſſerimus, quãuis alioqui ex hac vita ignominioſè exceſſiſſe videatur. Siquidẽ huius vitę ignominia nunquam intermorituram gloriã parturit: & vltrò ſuſcepta paupertas cæleſtes opes parit. Tum enim apparebũt bona, cùm finem acceperint moleſtiæ.

Ἀραβιανῷ ἐπισκόπῳ. σϛ.

Ἡ βασιλεία τοῦ θεοῦ τισὶ μὲν δοκεῖ ἀνωτέρα εἶναι καὶ ὑψηλοτέρα τῆς βασιλείας τῶν οὐρανῶν, τισὶ δὲ ἡ αὐτὴ, ποτὲ μὲν ἀπὸ τοῦ βασιλεύοντος θεοῦ· ποτὲ δὲ ἀπὸ τῶν βασιλευομένων οὐρανῶν δηλονότι προσαγορευομένη. πότεροι οὖν τῆς ἀληθείας ἥψαντο, τῆς σῆς ἂν εἴη κρῖναι σοφίας.

Arabiano Epiſcopo. 206.

Dei regnum cælorum regno ſublimius & excelſius quibuſdam eſſe videtur, quibuſdam autem vnum atque idem: quod nunc à regnante Deo, nunc ab iis, qui ſub ipſius regno ſunt, hoc eſt cælis, appelletur. Vtri autem veritatis ſcopum attigerint, tuæ ſapientiæ fuerit iudicare.

Ἀσκληπιῷ ἐπισκόπῳ. σζ.

Ἡ ὑπερκόσμιος λῆξις ἡ τῶν ἀγαθῶν

Aſclepio Epiſcopo. 207.

Cæleſtis illa ſedes, illa inquam bonis

omnibus perfuſa, moleſtiiſque omnibus inuia, illa mœroris expers, & lætitię omnis parens, illa linguam & aures, ac mentem excedens, iis videlicet, qui præſens vitæ certamen legitimè confecerint, præparata acerbitatum huiuſce vitæ ne ſenſum quidem habere patitur. Eáque de cauſa ipſorum anteſignanus clamabat: Non ſunt cõdignæ paſſiones huius temporis ad futurã gloriam, quæ reuelabitur in nobis. Nam cùm certaminis arbiter præmiorum, quæ rependit, magnitudine labores longo interuallo ſuperet, tantámque voluptatem immittat, quantam eos, qui hæreditate cæleſti fruuntur, habere par eſt, minimè mirum videri debet, ſi mundi moleſtias ipſi nullo loco ac numero ponant.

Petro Monacho. 208.

Magnopere miror, quî fiat, vt belluæ quidẽ, quæ ſuapte natura truces & agreſtes ſunt, adhibita humana induſtria, meliores perſæpe fiant: homo autem, qui naturalem earum feritatem in naturæ repugnantem lenitatem immutat, à naturali ſuæ manſuetudine ac facilitate, in feritatem, quæ ab ipſius natura remota eſt, degeneret: id videlicet, quod ferum & agreſte eſt, mite ac placidum reddens, ſeipſum autem, hoc eſt mitem ac manſuetum, ferum atque immanem reddens. Leonem enim cicurat, ac lenem & placidum efficit: iracundiam autem ſuam leone truculentiorem & immaniorem reddit. Atqui duo maxima impedimenta ſeſe illic obiiciunt, alterum quod ratione caret, alterum quod feras omnes iracundiæ ardore ſuperat. Et tamen ſapientię diuinitus homini cõceſſę facultate ipſam quoque naturam vincit. Qui igitur in belluis naturæ vim frangit, quid tandem eſt, quamobrẽ ipſe in ſeipſo vnà cum natura voluntatis quoque ac liberi arbitrij bonũ prodit. Nam qui leoni, id quod ipſius naturam ſuperat, largitur, idem tamen ſibiipſi ne ea quidem, quæ pſius naturæ conſentanea ſunt, ſeruat: verùm indomitas beſtias in humanam nobi-

πάντων καταῤῥυτης, καὶ τοῖς λυπηροῖς ἅπασιν ἄβατος, ἡ ἀθυμίας ἄγονος, καὶ θυμηδίας ἁπάσης μήτηρ, ἡ γλῶτταν, καὶ ἀκοὴν, καὶ νοῦν ὑπερβαίνουσα, τοῖς νομίμως τὸν παρόντα βίον διαθλήσασι δηλονότι εὐτρεπισθεῖσα, οὐδ' αἴσθησιν συγχωρεῖ τῶν τῆδε λυπηρῶν ἔχειν, ὅθεν ὁ κορυφαῖος αὐτῶν ἐβόα, οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. εἰ γὰρ νικᾷ ἐκ πολλοῦ τοῦ περιόντος τοὺς πόνους τῇ τῶν ἀμοιβῶν ἀντιδόσει ὁ ἀγωνοθέτης, καὶ τοσαύτην ἐνίησιν εὐφροσύνην ὅσην τοὺς τὸν οὐράνιον κλῆρον νεμομένους ἔχειν εἰκὸς, οὐ θαυμαστὸν εἰ ἐν οὐδενὶ αὐτοὶ τίθενται τὰ ἐν κόσμῳ ἀνιαρά.

Πέτρῳ μονάζοντι. ση.

Λίαν θαυμάζω πῶς, τὰ μὲν θηρία κατὰ φύσιν ὄντα ἄγρια ἀνθρωπείας ἀπολαύοντα τέχνης ἡμερώτερα πολλάκις γίνονται. ἄνθρωπος δὲ ὁ τὴν κατὰ φύσιν ἐκείνων θηριωδίαν εἰς τὴν παρὰ φύσιν ἡμερότητα μεταῤῥυθμίζων, τὴν οἰκείαν πρᾳότητα τὴν κατὰ φύσιν, εἰς τὴν παρὰ φύσιν θηριωδίαν ἐκφέρει. τὸ μὲν ἄγριον ποιῶν ἥμερον, ἑαυτὸν δὲ τὸν ἥμερον ἄγριον καθιστάς. λέοντα μὲν γὰρ πιθασσεύει, καὶ χειροήθη ποιεῖ. τὸν δὲ οἰκεῖον θυμὸν, λέοντος ἀγριώτερον κατασκευάζει. καὶ τὸ ἐκεῖ δύο κωλύματα μέγιστα, καὶ τὸ λογισμοῦ ἐστερῆσθαι, καὶ τὸ πάντων εἶναι θυμικώτερον, ἀλλ' ὅμως τῇ περιουσίᾳ τῆς παρὰ τοῦ θεοῦ δοθείσης τἀνδρὶ σοφίας, καὶ τῆς φύσεως κρατεῖ. ὁ τοίνυν ἐπὶ τῶν θηρίων τὴν φύσιν νικῶν, δι' ἣν αἰτίαν ἐφ' ἑαυτοῦ μετὰ τῆς φύσεως, καὶ τὸ τῆς προαιρέσεως προδίδωσι καλόν. ὁ γὰρ τῷ λέοντι τὰ ὑπὲρ φύσιν χαριζόμενος, ἑαυτῷ οὐδὲ τὰ κατὰ φύσιν διατηρεῖ, ἀλλὰ τοὺς ἀτιθάσσους θῆρας εἰς τὴν ἀνθρωπείαν εὐγένειαν φιλονεικῶν εἰσαγαγεῖν, ἑαυτὸν ἀπὸ τοῦ θρόνου τῆς ἀρχῆς καταβιβάζει, καὶ εἰς τὴν μανίαν ἐξωθεῖ